1/150ν

619α

Αἰδεσιμώτατε Πάτερ!

Τίνας ἂν εἴποιμι λόγους εὐχαριστηρίους καὶ ἱκετευτικοὺς πρὸς τὴν ὑμετέραν εὐνοϊκωτάτην αἰδεσιμότητα; εὐχαριστηρίους μέν, ἐφ' οἷς ἐτίμησέ με δυσὶ μυστογραφέσι καὶ πολυτίμοις· ἱκετευτικοὺς δὲ τῆς ποθουμένης συγγνώμης ὑπὲρ τῆς μακρᾶς μου ταύτης σιωπῆς. Ἐμοὶ μέντοι τοῦτο, ἐγνωκόσι τὰ ὄντα, σχεδὸν εἶναι δοκεῖ ἀχαρίστου λήθης τεκμήριον. Ἀλλὰ δι' ἃς ἐφανέρωσα αἰτίας τῷ ὑμετέρῳ προσηνεστάτῳ μοι καὶ φιλτάτῳ υἱῷ, ἐλπίζω ὅτι ἡ σὴ ἀγαθότης γενήσεταί μοι ἵλεως καὶ παραμυθία, ἀποτίνοντι ἤδη καὶ τὴν ποινὴν ἐν τῇ ἐλεγχούσῃ με συνειδήσει. Εὐχαριστῶ οὖν ὑμῖν μεγάλα καὶ ἐγκαρδίως· εὔχομαι δὲ λαβεῖν καιροῦ ἁρμόζοντα, ἵνα δείξω ἐμαυτὸν τῇ ὑμετέρᾳ αἰδεσιμότητι περάσοντα πρόθυμον καὶ πιστόν, ὅσον ἂν ὑμῖν χρῇ. Νεανίσκος μὲν ὤν, ἠξιώθην ἰδεῖν τὴν ἱερὰν καὶ πατρικὴν ὑμῶν κεφαλὴν ἐν τῇ οἰκίᾳ τοῦ Πανιερωτάτου Δεσπότου Δαλματίας· ἔμαθον δὲ αἰδεῖσθαι ὑμᾶς ἔκτοτε πατέρα τῆς ἁγίας ἡμῶν ἐκκλησίας· αὐξηθεὶς δέ, ἐθαύμασα ἐν ὑμῖν ἄνδρα τῷ ὄντι σοφώτατον καὶ ἀγλάϊσμα τῆς πατρίδος. Ἴδοιμεν ὑμᾶς ἐν τάχει, καὶ ἀπολαύσοιμεν!

Τὴν ὑμετέραν δεξιὰν εὐλαβῶς ἀσπάζονται ὅ τε αὐτάδελφός μου, καὶ ἡ οἰκογένειά μου, καὶ ἡ εὐγενεστάτη κυρία Λυνή. Ἡ δὲ ὑμετέρα αἰδεσιμότης ἐρρωμένως καὶ εὐδαιμόνως διαβιῴη, παρέχουσα ἡμῖν τὴν πατρικὴν αὐτῆς εὐλογίαν, καὶ συγγινώσκουσα εἰ παντάπασιν ἄχαρι γράφω καὶ ἀκαλλώπιστα.

Τῆς ὑμετέρας αἰδεσιμότητος

Ἐνετίῃσι, τῇ 7/19 Ἰουλίου 1846.

Φίλος καὶ θεράπων εἰλικρινέστατος
Ἰω. Βελούδης.

Πρὸς τὸν αἰδεσιμώτατον καὶ εὐκλεέστατον Πρεσβύτερον καὶ Οἰκονόμον τοῦ Πατριαρχικοῦ Θρόνου κύριον κύριον Κωνσταντῖνον τὸν ἐξ Οἰκονόμων

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
Ακαδημία Αθηνών / Academy of Athens